UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XL. De Constantini statua crucem tenente, & de ejus inscriptione.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A morum affectu eum excepere. Et cuncti tam viri quam mulieres cum liberis & infinita famulorum multitudine, illum Liberatorem, Servatorem ac bonorum Auctorem, incredibili clamore quem nemo cohibere poterat appellabant. Verùm ille pietatem in Deum quasi insitam sibi atque innatam gerens, nec hujusmodi acclamationibus, nec laudibus elatus est. Sed cùm Dei auxilium sibi adfuisse probè intelligeret, illico victoriæ Auctori gratiarum actionem supplex rependit.

αὐταῖς ψυχαῖς, μετ' εὐφημιῶν καὶ ἀπλέτου χαρᾶς ὑπεδέχοντο· ὁμοῦ τ' ἄνδρες ἅμα γυναιξὶ καὶ παισὶ καὶ οἰκετῶν μυρίοις πλήθεσι, λυτρωτὴν αὐτὸν, σωτῆρά τε καὶ εὐεργέτην βοαῖς ἀσχέτοις ἐπεφώνουν. ὁ δ' ἔμφυτον τὴν εἰς τὸν Θεὸν εὐσέβειαν κεκλημένος, μήτ' ἐπὶ ταῖς βοαῖς χαυνούμενος, μήτ' ἐπαιρόμενος τοῖς ἐπαίνοις. τῆς δ' ἐκ Θεοῦ συναισθημένος βοηθείας, εὐχαριστήριον ἀπεδίδου παραχρῆμα εὐχὴν τῷ τῆς νίκης αἰτίῳ.

## Caput XL.

*De Constantini statua crucem tenente, & de ejus inscriptione.*

## ΚΕΦΑΛΑΙΟΝ Μ.

B Περὶ ἀνδριάντος αὐτοῦ, σταυρὸν κατέχοντος, καὶ τῆς ἐπιγραφῆς.

Et clarâ voce ac titulorum inscriptionibus, salutare signum cunctis hominibus annuntiavit: hoc tropæo in medio urbis regiæ adversus hostes erecto, atque hoc salutari signo quod Imperii Romani ac totius orbis præsidium est, literarum notis nunquam interituris inciso. Statim ergo sublimem hastam in modum crucis, sub manum statuæ suæ in celeberrimo urbis loco poni jussit, & hujusmodi inscriptionem Latino sermone subjici: *Hoc salutari signo quod veræ virtutis argumentum est, vestram urbem tyrannicæ dominationis jugo liberatam servavi. Senatui Populoq; Romano in libertatem asserto pristinum decus nobilitatis splendoremque restitui.*

Γραφῇ τε μεγάλῃ καὶ στήλαις, ἅπασιν ἀνθρώποις τὸ σωτήριον ἀνεκηρύττετο σημεῖον· μέσῃ τῇ βασιλευούσῃ πόλει μέγα τρόπαιον τουτὶ κατὰ τῶν πολεμίων ἐγείρας. διαῤῥήδην ἀνεξαλείπτοις ἐγχαράξας τύποις, σωτήριον τουτὶ σημεῖον τῆς Ῥωμαίων ἀρχῆς καὶ τῆς καθόλου βασιλείας φυλακτήριον. αὐτίκα δ' οὖν ὑψηλὸν δόρυ σταυροῦ σχήματι ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἐν ἀνδριάντι κατειργασμένης, τῶν ἐπὶ Ῥώμης δεδημοσιευμένων ἐν τόπῳ στήσαντας,
C αὐτὴν δὴ ταύτην τὴν γραφὴν, ῥήμασιν ἐγχαράξαι τῇ Ῥωμαίων ἐγκελεύεται φωνῇ. τούτῳ τῷ σωτηριώδει σημείῳ τῷ ἀληθεῖ ἐλέγχῳ τῆς ἀνδρείας, τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τοῦ τυραννικοῦ διασωθεῖσαν, ἠλευθέρωσα. ἔτι μὴν καὶ τὴν σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων, τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ λαμπρότητι ἐλευθερώσας ἀποκατέστησα.

## Caput XLI.

*Exultatio provinciarum, & largitiones Constantini.*

## ΚΕΦΑΛΑΙΟΝ ΜΑ.

Εὐφροσύναι κατὰ τὰς ἐπαρχίας, καὶ δωρεαὶ Κωνσταντίνου.

In hunc modum Dei amantissimus Imperator victricis crucis confessionem præ se ferens, Filium Dei Romanis liberè atq; ingenuè prædicavit. Et cuncti qui urbem incolebant, tam Senatus quam populus, utpote acerba & tyrannica dominatione liberati, respirare quodammodo & purioris lucis radiis perfrui sibi videbantur, atque in novam quandam vitam renasci. Gentes quoq; universæ quotquot occidentali Oceano terminantur, pristinis malis liberatæ, festos dies cum omni hilaritate celebrabant; Constantinum victorem, Dei amicum, de omnibus bene meritum conti-

D Ὁ μὲν οὖν θεοφιλὴς βασιλεὺς ὧδέ πη τῇ νικοποιῷ σταυροῦ ὁμολογίᾳ λαμπρυνόμενος, σὺν παῤῥησίᾳ πολλῇ τὸν υἱὸν τοῦ Θεοῦ Ῥωμαίοις αὐτοῖς γνώριμον ἐποίει. πάντες δ' ἀθρόως οἱ τὴν πόλιν οἰκοῦντες, αὐτῇ συγκλήτῳ καὶ δήμων πλήθεσιν, ὡσανεὶ πικρᾶς καὶ τυραννικῆς ἀναπνεύσαντες δυναστείας, φωτὸς ἀπολαύειν ἐδόκουν καθαρωτέρων αὐγῶν, καινοῦ τε καὶ νέου βίου παλιγγενεσίας μετέχειν. ἔθνη τε πάνθ' ὅσα ὠκεανῷ τῷ πρὸς δύοντα ἥλιον περιωρίζετο, τῶν πρὶν συνεχόντων κακῶν ἠλευθερωμένα, πανηγύρεσι φαιδραῖς ἐνευφραινόμενα, τὸν καλλίνικον

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN